καὶ ἔναντι τῶν παρεστηκότων
ἐγένου βοηθὸς καὶ ἐλυτρώσω με
3 κατὰ τὸ πλῆθος ἐλέους καὶ ὀνόματός σου
ἐκ βρυγμῶν ἕτοιμον εἰς βρῶμα,
ἐκ χειρὸς ζητούντων τὴν ψυχήν μου,
ἐκ πλειόνων θλίψεων, ὧν ἔσχον,
4 ἀπὸ πνιγμοῦ πυρᾶς κυκλόθεν
καὶ ἐκ μέσου πυρός, οὗ οὐκ ἐξέκαυσα,
5 ἐκ βάθους κοιλίας ᾅδου
καὶ ἀπὸ γλώσσης ἀκαθάρτου καὶ λόγου ψευδοῦς.
6 βασιλεῖ διαβολὴ γλώσσης ἀδίκου.
ἤγγισεν ἕως θανάτου ἡ ψυχή μου,
καὶ ἡ ζωή μου ἦν σύνεγγυς ᾅδου κάτω.
7 περιέσχον με πάντοθεν, καὶ οὐκ ἦν ὁ βοηθῶν·
ἐνέβλεπον εἰς ἀντίλημψιν ἀνθρώπων, καὶ οὐκ ἦν.
8 καὶ ἐμνήσθην τοῦ ἐλέους σου, κύριε,
καὶ τῆς ἐργασίας σου τῆς ἀπ' αἰῶνος,
ὅτι ἐξαιρῇ τοὺς ὑπομένοντάς σε
καὶ σῴζεις αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν.
9 καὶ ἀνύψωσα ἀπὸ γῆς ἱκετείαν μου
καὶ ὑπὲρ θανάτου ῥύσεως ἐδεήθην·
10 ἐπεκαλεσάμην κύριον πατέρα κυρίου μου
μή με ἐγκαταλιπεῖν ἐν ἡμέραις θλίψεως,
ἐν καιρῷ ὑπερηφανιῶν ἀβοηθησίας·
αἰνέσω τὸ ὄνομά σου ἐνδελεχῶς
καὶ ὑμνήσω ἐν ἐξομολογήσει.
11 καὶ εἰσηκούσθη ἡ δέησίς μου·
ἔσωσας γάρ με ἐξ ἀπωλείας
καὶ ἐξείλου με ἐκ καιροῦ πονηροῦ.
12 διὰ τοῦτο ἐξομολογήσομαί σοι καὶ αἰνέσω σε
καὶ εὐλογήσω τῷ ὀνόματι κυρίου.
13 Ἔτι ὢν νεώτερος πρὶν ἢ πλανηθῆναί με
ἐζήτησα σοφίαν προφανῶς ἐν προσευχῇ μου.
14 ἔναντι ναοῦ ἠξίουν περὶ αὐτῆς

3[1] ελεους] ς > B*†, + σου S^c† | 3[2] ετοιμον] -μος BS | 3[3]] pr. και S || 4[2] εν μεσω S† | ου] σου S*† || 6[1] διαβολη] -λης SA, + εκ pau. | 6[2] ηνεσεν B† | 6[3] κατωτατου S^c || 7[2] ενεβλεπον pau. (cf. 2 10 33 15. 22 42 18)] εμβλεπων BS, εβλεπον A || 8[1] και > S* | 8[3] εξαιρη (SV† εξερη)] εξελη B | 8[4] εχθρων] εθνων B†, πονηρων V† || 9[1] απο γης] επι γην B*†, επι γης B^c | 9[2] υπερ θαν.] απο αθανατου A† || 10[1] κυριου] pr. του S^c† | 10[3] υπερηφανιων B†] -νων rel. || 11[3] και εξειλου με] κ. εξελουμαι AV†, sed post 11[3] add. A† και εξ⟨ε⟩ιλου μαι(pro με) | καιρου] χειρος A† || 12[1] σοι > B | σε] σοι B*S*A†